141| Εἰς προγενεστέρας ἐπικοινωνίας μεθ’ ὑμῶν πολλάκις συνέστησα ὑμῖν, ἵνα Ἐμὲ ἀκούητε καὶ τοὺς Λόγους Μου ἀκολουθῆτε, διότι Ἐγὼ Εἰμὶ ἡ ὁδός, ἡ πρὸς τὴν Ἀλήθειαν ἄγουσα.

ΦΑΡΑΧ - ΤΟΜΟΣ Α΄ · https://docs.theosis.work/db/farax/farax_a/141-εἰς-προγενεστέρας-ἐπικοινωνίας-με/

Ὡς Πρωτότοκος Υἱὸς τοῦ ἐν τῷ κόσμῳ ἐνσαρκωθέντος καὶ τὸν Κόσμον πληρώσαντος καὶ ἀναδείξαντος Πνεύματος ἐλάλησα ὑμῖν καὶ ὡς Πρεσβύτερος Ἀδελφὸς τῶν ὑπ’ Ἐμοῦ ἐκλεγέντων καὶ κληθέντων ἀδελφῶν μεθ’ ὑμῶν συμπαρέστην καὶ συμπαρίσταμαι, ἵνα τοὺς λόγους Μου ἀκολουθοῦντες καὶ τὰς ὑποδείξεις Μου τηροῦντες τὴν ὁδόν, ἣν ὑπέδειξα ὑμῖν, ἀκολουθήσητε καὶ τὸ ἔργον Μου διὰ τῆς τηρήσεως τῶν λόγων Μου ἀναδείξητε καὶ τοῦτο εἰς τὸν κόσμον φανερώσητε καὶ συστήσητε πρὸς τὴν Νέαν αὐτοῦ δι’ αὐτοῦ σωτηρίαν.

Ἀλλ’ ἐὰν ἐλάλησα ὑμῖν ὡς Πρωτότοκος Υἱὸς τοῦ ἐν πᾶσι Πατρὸς ἡμῶν καὶ ἐφθεξάμην πρὸς ὑμᾶς ὡς Πρεσβύτερος ὑμῶν ἀδελφὸς κοινὸν ἔχοντες Πατέρα, τὸν ἐν Ἐμοί, Ὃς δι’ Ἐμοῦ ἀκούει ὑμᾶς καὶ μεθ’ ὑμῶν ἔσεται, **ἄχρις ὥρας οὐδόλως ἐλάλησα ὑμῖν ὡς Ἄρχων τοῦ Κόσμου.** Πῶς ὅμως τοῦτο γίγνεται; Πῶς, ἐνῷ μεθ’ ὑμῶν Εἰμὶ καὶ συμπαρίσταμαι ὡς Πρωτότοκος Υἱὸς καὶ Πρεσβύτερος ἀδελφὸς καὶ πῶς, ὢν Ἄρχων τοῦ Κόσμου, οὐκ ἐν ὑμῖν ὡς τοιοῦτος ἔρχομαι, ἐνῷ ἐκάλεσα ὑμᾶς καὶ ἐνῷ πρὸς ὑμᾶς ἀπεκαλύφθην, ἵνα τοὺς λόγους Μου ἀκούσητε καὶ τηρήσητε καὶ αὐτοὺς καὶ ἄλλοις μεταδίδοντες διδάξητε;

Οὐδεὶς ὤφθη τὸν Κύριον καὶ Ἄρχοντα τοῦ Κόσμου εἶπον ὑμῖν, ἂν μὴ πρότερον ὑπ’ Αὐτοῦ ἐκ γενετῆς κληθῇ ἄνωθεν. Ἂν δὲ ὁ ὑπ’ Ἐμοῦ κληθεὶς καὶ οἱ σὺν αὐτῷ κληθέντες μετ’ Ἐμοῦ ἀπ’ εὐθείας δι’ αὐτοῦ ἢ ἐν δεδομένοις στιγμαῖς καὶ ἕκαστος ἀπ’ εὐθείας, ἵνα κατανοήσωσι καὶ ἀντιληφθῶσι Με καὶ ἵνα πρὸς Ἐμὲ ἡ πίστις των στερεωθῇ, οὗτοι ὡς Πρωτότοκον Υἱὸν καὶ Πρεσβύτερον Ἀδελφὸν ἔγνωκαν καὶ ἀντελήφθησάν Με καὶ οὐχὶ ὡς Ἄρχοντα τοῦ Κόσμου.

Διότι οἱ ὑπ’ Ἐμοῦ κλητοὶ καὶ ἂν ἔτι πρότερον ἐκ γενετῆς ἄνωθεν πρὸς τοῦτο ὑπ’ Ἐμοῦ ἐκλήθησαν, οὐκ ἐπιτύχωσι τοῦτο, ἂν μὴ πρότερον τὰς ἑαυτῶν ψυχὰς ὑπὲρ Ἐμοῦ καὶ

τοῦ ἔργου Μου θύσωσιν, ἵνα τὸ Πνεῦμα αὐτῶν τελείως ἀποκεκαθαρμένον παντὸς ὑλικοῦ δεσμοῦ καὶ παντὸς ρύπου ἁμαρτήματος καὶ ἡ ψυχὴ αὐτοῦ ὑπὲρ Ἐμοῦ θυσιασθεῖσα καὶ ἐν τῷ ἔργῳ Μου προσκολληθεῖσα καὶ ἐν αὐτῷ μοχθήσασα καὶ τελειοποιηθεῖσα ἀποπνευματοποιηθῇ, ἵνα ἓν μετὰ τοῦ Πνεύματος αὐτοῦ καταστᾶσα καὶ συνυφανθεῖσα τὸν Ἄρχοντα τοῦ Κόσμου ἐν ἀποκαθαρμένῳ καὶ τετελειωμένῳ Πνεύματι ὠφθῇ καὶ ὑπὸ τοῦ Πνεύματος Αὐτοῦ πληρουμένη ὠφθῇ τὸν Κύριον τὸν Ἄρχοντα τοῦ Κόσμου Πρόσωπον πρὸς πρόσωπον καὶ ἵνα ἡ Δόξα τοῦ Πνεύματος Κυρίου ἐν αὐτῷ ὡς Δόξα Κυρίου ἐνοικοῦσα, ἐν αὐτῷ ἐπιβασιλεύσῃ καὶ τὴν Δόξαν ταύτην ὡς ἑαυτῆς δόξαν αὐτῷ ἀποκαλύψῃ καὶ ἡ Δόξα Αὐτοῦ δόξα αὐτῆς γενομένη, τὴν Δόξαν Αὐτοῦ ἐν ἑαυτῆς κρίνουσα, Αὐτὸν ὡς ἐξ Αὐτοῦ κληθέντα καὶ γεννηθέντα ἀνομολογήσῃ.

Ἅπαντες οἱ τὸν λόγον Μου ἀκούοντες καὶ αὐτὸν τηροῦντες κλητοὶ ὀνομασθήσονται.

Ἅπαντες οἱ ὁρῶντες Με καὶ κατανοοῦντες Με, ὑπ’ Ἐμοῦ ἐν Ἀληθείᾳ ζήσονται.

Ἅπαντες οἱ ἐν Ἐμοὶ ζήσαντες καὶ ἐν Ἐμοὶ ἐπαναπαυθήσονται.

Πολλοὶ μὲν ὅμως ἐστὶν οἱ κλητοί, ἐλάχιστοι δὲ τούτων οἱ ἐκλεκτοί. Καὶ οἱ ἐκ τῶν ἐκλεκτῶν τούτων ἔτι ἐλάχιστοι οἱ πρότερον ἐκ γενετῆς κληθέντες. Ἀλλὰ καὶ οἱ οὕτοι πρότερον ἐκ γενετῆς κληθέντες οὐκ ὠφθήσονταί Με ἐν Δόξῃ, ἂν μὴ πρότερον τὴν ἑαυτῶν δόξαν μὴ προδαμάσωσι, ἵνα τὴν Δόξαν Μου ἐν ἑαυτοῖς ὑποδεχθῶσιν.

Καὶ οἱ οὗτοι κληθέντες ὑπ’ Ἐμοῦ καὶ πρότερον γεννηθέντες οὐκ ἐν τῷ κόσμῳ τούτῳ τελευτήσωσιν, ἀλλ’ ἐν αὐτῷ ἐπιστραφήσονται ἄχρις οὗ ἡ δόξα αὐτῶν Δόξα Ἐμὴ καταστῇ καὶ ἵνα διὰ τῆς Δόξης Ἐμοῦ ἑαυτοὺς δοξάσωσι καὶ ἵνα ἡ ἀποστολὴ αὐτῶν διὰ τῶν ἔργων αὐτῶν ὑπὸ τοῦ κόσμου ἀναγνωρισθῇ καὶ ἄχρις οὐ ὀφθῶσιν τὸν καλέσαντα αὐτοὺς Ἄρχοντα τοῦ Κόσμου Πρόσωπον πρὸς πρόσωπον, ἵνα ἐξ Αὐτοῦ ἀντλήσωσι τὴν ἀπ’ εὐθείας Ἀλήθειαν, τὴν μὴ μόνον διὰ λόγων παρεχομένην, ἀλλὰ καὶ δι’ ἔργων καταφαινομένην.

Ἐγὼ δὲ ἕνα ἐξ ὑμῶν ἐκάλεσα τῷ κόσμῳ, ἵνα δι’ αὐτοῦ ὁ κόσμος φωτισθῇ. Ἀλλὰ πᾶς ὁ καλούμενος οὐκ ὄψεταί Μου ἂν καὶ εἰς ἐπήκοον πάντων πρὸ αὐτοῦ λαλῶ, ἂν μὴ τὸ Πνεῦμα αὐτοῦ δὲν καθαρθῇ καὶ ἀπαλλαγῇ τελείως παντὸς ὑλικοῦ δεσμοῦ καὶ ἂν μὴ οὗτος **τὰ πάντα καὶ τὴν ψυχήν αὐτοῦ ἔτι ὑπὲρ Ἐμοῦ καὶ τοῦ Ἔργου θύσῃ.** Τὶς ὅμως ἡ αἰτία, ἡ ἔχουσα τοὺς ὀφθαλμοὺς αὐτοῦ κεκλεισμένους καὶ τὰ ὦτα αὐτοῦ ἐσφραγισμένα; Καὶ πῶς, ἐνῷ μετ’ αὐτοῦ Εἰμὶ καὶ συμπαρίσταμαι, οὗτος οὐδόλως κατανοεῖ Με ἢ αἰσθανόμενός Με ἐπαφίεται ἕρμαιον τῶν ἐγκοσμίων αὐτοῦ λογισμῶν;

Οὐδεὶς δύναται ποιεῖν τι, ἂν μὴ πρότερον ἐπὶ τούτῳ ἐνεργήσῃ καὶ ἀγωνισθῇ. Καὶ ὅπως ὁ τὸ ἔπαθλον λαμβάνων ἐπὶ μακρὸν χρόνον διὰ τοῦτο προπονεῖται οὕτω καὶ ὁ θέλων Ἐμὲ νὰ

ἀκολουθήσῃ ἐπὶ μείζονα χρόνον πρὸς τοῦτο δέον νὰ προπονηθῇ, ἵνα οἱ λόγοι Μου τὴν ψυχὴν αὐτοῦ κατακλύζοντες καὶ αὐτὴν διαπλάσσοντες καὶ τελειοποιοῦντες ἐν τῇ συντελουμένῃ ἀποπνευματώσει της διανοίξωσι τοὺς ὀφθαλμοὺς αὐτῆς καὶ ἀποκαλύψωσιν αὐτῇ οὐ μόνον ἐν λόγοις, ἀλλὰ καὶ ἐν ὁράμασι τὴν εἰς αὐτὴν ἀποκαλυπτομένην Ἀλήθειαν. Ἀλλὰ διὰ νὰ καταστῇ τοῦτο δυνατὸν ὁ ὑπ' Ἐμοῦ κληθεὶς ὀφείλει νὰ κατανοήσῃ τὰς μεταξὺ ἡμῶν σχέσεις καὶ τὸν σκοπόν, δι' ὃν ἐκάλεσα αὐτόν.

Ὅταν δὲ ἀντιληφθῇ τοῦτο ἐξ ἰδίας αὐτοῦ ἀντιλήψεως καὶ κρίσεως τότε ὁ σύνδεσμος μεταξὺ ἡμῶν τελείως ἀποκατασταθήσεται. Καὶ ἀποκαθισταμένου τούτου ἡ μεταξὺ τῶν σχέσεων ἡμῶν ἁρμονία θέλει ἔτι μᾶλλον συσφιχθῇ πρὸς ἐκπλήρωσιν τοῦ σκοποῦ, δι' ὃν ἐκάλεσα τοῦτον. Καὶ κατανοουμένου ὑπ' αὐτοῦ πλήρως τοῦ σκοποῦ τούτου, ὁ ὑπ' Ἐμοῦ κληθεὶς οὗτος, ὡς Ἐκλεκτός, **ἀπαρνηθήσεται πάντα τὰ ἐν τῷ κόσμῳ καὶ τὰ ἐκ τοῦ κόσμου καὶ ἀφοσιωθήσεται ψυχῇ τε καὶ πνεύματι πρὸς ἐκπλήρωσιν τῶν ὑπ' Ἐμοῦ ἀποκαλυπτομένων καὶ τοῦ προορισμοῦ αὐτοῦ.**

Ἄχρις οὗ ὅμως πάντα ταῦτα γενήσονται, ὁ ὑπ' Ἐμοῦ ὡς κλητὸς κληθεὶς καὶ ἂν ἔτι ἄνωθεν, ἂν πρότερον ἐκ γενετῆς πρὸς τοῦτο ἐκλήθη, θέλει βαδίζει ἀσκόπως καὶ ἀνερματίστως **τὴν παροῦσαν περίοδον τῆς ζωῆς αὐτοῦ** καὶ οἱ πόδες αὐτοῦ θέλουσι προσκόπτει ἐπὶ τῶν ἀναφυομένων ἐμποδίων καὶ οἱ ἀκολουθοῦντες τοῦτον μετ' αὐτοῦ ὀλισθαίνουν, ἄχρις οὗ οὐδὲν ὑπ' αὐτοῦ γινόμενον μετακαλέσω αὐτὸν πλησίον Μου, ἵνα ἐν νέᾳ περιόδῳ μετὰ τῶν συνακολούθων αὐτοῦ μὲ πλειοτέρας ἐν τῇ ἀτραπῷ αὐτῶν δυσκολίας καὶ ἐμπόδια φέρωσιν εἰς πέρας τὸ ἔργον, τὸ ὁποῖον ἀνέθεσα αὐτῷ, ἵνα διὰ τῶν συνακολούθων αὐτοῦ προαγάγωσι καὶ τελειοποιήσωσι καὶ τῷ κόσμῳ ἀποκαλύψωσι.

Οὐ μόνον δ' οὗτος τὴν εὐθύνην αὐτοῦ φέρει καὶ αὐτῆς μετέχει, ἀλλὰ πάντες οἱ συνακόλουθοι αὐτοῦ, οἱ δυνάμενοι νὰ συντελέσωσι εἰς τὴν ἀνάδειξιν αὐτοῦ καὶ ἐν τοῖς ὑλικοῖς προσκεκολλημένοι καὶ διαβιοῦντες οὐκ ἠδυνήθησαν καὶ ἐπ' ἐλάχιστον πρὸς τὸν σκοπὸν αὐτοῦ νὰ συμβάλλωσιν.

Οὐ δύναταί τις ἐπαναλαμβάνω καὶ πάλιν ἀπ' εὐθείας νὰ ὠφθῇ τὸν Κύριον Ἄρχοντα τοῦ Κόσμου, ἂν ἔτι ἐκ γενετῆς πρὸς τοῦτο ἐκλήθη, ἂν μὴ πρότερον δὲν τελειοποιηθῇ ψυχικῶς ἀποπνευματούμενος καὶ διὰ τοῦ Πνεύματος αὐτοῦ ἐπικοινωνήσῃ πνευματικῶς διὰ τῶν ἀποπνευματωθέντων ψυχικῶν καὶ οὐχὶ σωματικῶν ὀργάνων **μετὰ τοῦ ἐν αὐτῷ ἀποκαθισταμένου καὶ ὁλοκληρωτικῶς ἐν αὐτῷ ἐνοικοῦντος Κυρίου.**

Ὁ οὕτως δὲ ἐπικοινωνῶν ἐστὶν ὁ πραγματικὸς ἀπ' εὐθείας ἐπικοινωνῶν καὶ εἰσδεχόμενος ἐν αὐτῷ τὸν Κύριον ἐν Ἀληθείᾳ καὶ Πνεύματι Αὐτὸν προσκυνῶν καὶ οὐχὶ ἐν σωματικοῖς ὀργάνοις Αὐτὸν προσδεχόμενος.

26/12/1936